εἰπὼν καὶ τὸ γόνυ κλίνας, πρὸς τὴν διὰ τοῦ ξίφους ἐχώρει πληγήν· καὶ μετὰ τὴν πληγὴν δὲ τὸ ἱερὸν σῶμα τὸ πῦρ διεδέχετο· καὶ οὕτω τὸ τοῦ μάρτυρος μὲν φθαρτὸν διελύετο, ἡ ψυχὴ δὲ πρὸς τὴν μακαρίαν λῆξιν ὑπ' ἀγγέλων ἀνεκομίζετο. Ἐντεῦθεν ἐπιμέλεια τοῖς φιλοθέοις περὶ τὰ μαρτυρικὰ λείψανα γίνεται, ὥστε τοῦ πυρὸς ἀνελέσθαι καὶ τόποις ἐπισήμοις ἐγκαταθεῖναι· ἅπερ δὴ καὶ ἀναλεξάμενοι καὶ σινδόσιν ἐνθέμενοι καθαραῖς, μύροις τε καὶ θυμιάμασιν ὑπαλείψαντες, καὶ πᾶν ὅ τι νενομισμένον ἦν ἐπὶ τούτοις ἀφοσιώσαντες, ὀλίγῳ ὕστερον πρὸς τὴν αὐτοῦ πατρίδα ἀνεκομίσαντο· καθὼς αὐτοῖς πρὸ τῆς τελειώσεως ὁ μάρτυς ἐπέσκηψε τοῦ Χριστοῦ. Ἔδει γὰρ τὴν καὶ γεννήσασάν τε καὶ θρεψαμένην ἐκείνην καὶ τῷ μαρτυρίῳ τελειωθέντα τοῦτον ἀπολαβεῖν· καὶ μὴ τὴν μὲν ἐν τάξει μητρὸς εἶναι, ἑτέραν δὲ παρὰ ταύτην τῆς τῶν μαρτυρικῶν λειψάνων χάριτος ἀπολαύειν. Καὶ τοῦτο γὰρ οἰκονομικῶς παρὰ τῆς τοῦ Χριστοῦ γέγονε προμηθείας· ᾧ πρέπει πᾶσα δόξα, τιμή, κράτος, μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

sacrum corpus ignis excepit : et sic quidem fuit dissolutum martyris id in quod cadebat interitus, anima autem ad beatam hereditatem deducta est ab angelis. Hinc viri pii magnam adhibent diligentiam circa martyris reliquias, ut ex igne tollerentur et in insignibus locis reponerentur. Quas quidem quum collegissent et mundis sindonibus imposuissent unguentisque et suffitibus inunxissent, et justa omnia eis sancte fecissent, eas paulo post in ejus patriam retulerunt, quemadmodum eis ante consummationem injunxerat Christi martyr. Oportebat enim eam quæ et genuerat et aluerat, eum quoque accipere consummatum martyrio, et non illam quidem tenere locum matris, aliam vero præter eam frui gratia reliquiarum. Hoc enim consulto factum est a Christi providentia, quem decet omnis gloria, honor, potentia, majestas et magnificentia, nunc et semper et in secula seculorum. Amen.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Bruxellis. — Typis Polleunis, Ceuterick & Lefébure.